ἀέρων εἰς ἀπάντησιν Χριστοῦ τοῦ βασιλέως τῆς δόξης, ἑαυτοὺς δὲ βλέποντες ἐν τῇ μεγάλῃ θλίψει, τίς ἄρα ὑπενέγκει τὴν αἰσχύνην ἐκείνην καὶ δεινὸν ὀνειδισμόν; νήψωμεν ὦ ἀδελφοὶ, νήψωμεν ἀγαπητοὶ, νήψωμεν φιλόθεοι, τέκνα ἠγαπημένα παρὰ τοῦ Θεοῦ πατρὸς, ἔλθωμεν εἰς ἑαυτοὺς, καὶ ἐπισυνάξωμεν ὀλίγον τοὺς λογισμοὺς ἐκ τοῦ ματαίου βίου· προσπέσωμεν τῷ Θεῷ μετὰ πολλῶν δακρύων· παρακαλέσωμεν αὐτὸν ἀναιδῶς μετὰ σπουδῆς, ἵνα ἡμᾶς ῥύσηται τοῦ πυρὸς τοῦ ἀσβέστου καὶ πικρᾶς κολάσεως. Μὴ αὐτοῦ χωρισθῶμεν τοῦ γλυκέος Δεσπότου ἀγαπήσαντος ἡμᾶς, καὶ δόντος ὑπὲρ ἡμῶν ἑαυτὸν εἰς τὸν σταυρόν. Πάντων ὑμῶν δέομαι, καὶ πάντας ἱκετεύω ἐγὼ ὁ ἀνάξιος ἅμα καὶ ἁμαρτωλὸς, καὶ ἐπ' ἐμοὶ τῷ χαύνῳ ἐκχέατε δάκρυα ἐν τῇ προσευχῇ ὑμῶν καὶ δεήσει καθαρᾷ, ἵνα κἀγὼ κατανυγῶ καὶ δακρύσω σὺν ὑμῖν, καὶ φωτισθῇ ὀλίγον ἡ τυφλή μου καρδία, καὶ ζητήσω τὸν Θεὸν Σωτῆρα τὸν ἅγιον, ὅπως μοι δωρήσηται προθυμίαν τέλειαν μετὰ σπουδῆς μετανοεῖν, ἕως οὗ καιρός ἐστι δεχθῆναι τὰ δάκρυα, καὶ σὺν ὑμῖν ἀδελφοὶ σωθήσομαι καὶ ἐγὼ ὁ ἀνάξιος τῆς ζωῆς. Δέομαι, ἀγαπητοὶ, δέξασθε παράκλησιν τοῦ ἁμαρτωλοῦ Ἐφραὶμ ἀδελφοῦ ὑμῶν χαύνου. Καὶ σπουδάσωμεν πάντες τὸν Θεὸν τὸν ἅγιον ἵλεων ποιήσασθαι ἕως ἔχομεν καιρόν. Ἰδοὺ γὰρ ἐπὶ θύραις ἕστηκεν ὁ Κύριος ποιῆσαι συντέλειαν αἰῶνος τοῦ ματαίου.

A nubibus aëris in occursum Christi regis gloriæ; nos autem ipsos in magna tribulatione cernemus atque angustia: quis, putas, confusionem illam diramque exprobrationem sustinere tunc valebit? Sobrii igitur simus, fratres, vigilemus, carissimi, vigilemus o amici Dei, & filii a Deo Patre dilecti: redeamus ad nos ipsos, & paululum cogitationes nostras a vanissimo hoc sæculo colligamus. Procidamus Deo cum multis la- B crymis. Obsecremus eum confidenter cum affectu ac studio, ut nos liberet ab igne illo inextinguibili, & supplicio amarissimo. Ne ab ipso separemur dulcissimo Domino qui dilexit nos, & semetipsum pro nobis dedit in crucem. Vos cunctos deprecor, cunctos obtestor ac supplex rogo ego indignus & peccator, ut pro me inerte ac deside lacrymas fundatis in orationibus vestris ac precibus mundis: ut ego quoque vobiscum C compungar & collacrymer, illumineturque parumper excæcatum cor meum, & requiram Deum sanctum Salvatorem: ut perfectam mihi alacritatem largiatur, quo studiose diligenterque pœnitentiam agam, donec tempus est suscipiendi lacrymas: ac vobiscum, fratres, salutem consequar & ego, vita quantumvis indignus. Obsecro, carissimi, suscipite deprecationem peccatoris Ephræm fratris vestri negligentis atque inertis. De- D musque operam cuncti pariter, ut Deum sanctum placemus, nobisque propitium reddamus, quamdiu tempus suppetit. Ecce enim in januis Dominus adest, ut consummationem vani sæculi faciat.

## ΤΟΥ ΑΥΤΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΕΦΡΑΙΜ ΤΟΥ ΣΥΡΟΥ

## ΛΟΓΟΣ ΕΤΕΡΟΣ ΕΙΣ ΠΑΤΕΡΑΣ ΤΕΛΕΙΩΘΕΝΤΑΣ.

ἘΝ ταύτῃ ἡμέρᾳ τῇ πρώτῃ καὶ εὐσήμῳ, μυστήρια Υἱοῦ μονογενοῦς ἐνδόξως ᾄδοντες βοήσωμεν ὕμνοις, ἐν ἐκκλησίᾳ οὔσης νύμφης τοῦ Χριστοῦ, κηρύσσοντες ἔπαθλα τῶν ὁσίων πατέρων, καὶ ἐπαίνους ᾄδοντες τοῖς οἰκοῦσιν ἔρημον. Καὶ εἴπωμεν τὰ ἆθλα τῶν λιπόντων τὰς πόλεις, καὶ πόθῳ θελησάντων τὰ ἔρημα οἰκῆσαι, εἰς ὠφέλειαν πάντων τῶν ἀκουόντων αὐτῶν. Κἂν ἀπών τις εὑρεθῇ, τῷ παρόντι ἠριθμήθη, συγκοινωνός τε εὐχαῖς τῶν ὁσίων πατέρων, ὅπως σωθῇ ὁ λέγων εὐχαῖς τῶν ἀκροατῶν. Οὐκ ἀπέχουσιν ἡμῶν οἱ ὅσιοι πατέρες, ἐπειδὴ πόθος αὐτῶν ἀεί ἐστι μεθ' ἡμῶν· μὴ χωρήσωμεν αὐτοὺς, ὥσπερ ξένους ἀφ' ἡμῶν, ὅτι ἀεὶ εὔχονται ὑπὲρ τῶν ἐμῶν πλασ-

## EJUSDEM SANCTI PATRIS EPHRAEM SYRI

## SERMO ALIUS IN PATRES DEFUNCTOS.

E IN hoc die primo atque insigni, mysteria unigeniti Filii Dei gloriose canentes, clamemus in hymnis, in ecclesia, quæ est Christi sponsa, prædicantes præmia sanctorum Patrum, laudesque eremicolarum celebrantes. Enarremus certamina eorum, qui relictis civitatibus, cum amore ac desiderio F voluerunt loca inhabitare deserta ad utilitatem omnium qui eos audirent. Et licet quis absens sit, reperiatur tamen is tamquam præsens adscriptus, particepsque orationum sanctorum Patrum effectus, ut salvetur is, qui dicit, precibus auditorum. Non absunt a nobis sancti Patres: quoniam amor & desiderium eorum semper nobiscum est. Non separemus ipsos, tamquam peregrinos atque externos a nobis: quoniam semper pro nostris